ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΒΑΡΝΑΒΑ ΤΖΩΡΤΖΑΤΟΥ Δ. Θ.
ΔΙΕΥΘΥΝΤΟΥ ΠΑΡΑ ΤΗι ΑΠΟΣΤΟΛΙΚΗι ΔΙΑΚΟΝΙΑι
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΒΑΡΝΑΒΑ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΜΕΤΑ ΤΟΥ ΒΙΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΚΑΙ
ΜΟΥΣΙΚΟΥ ΠΑΡΑΡΤΗΜΑΤΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ 1953




Ο ΑΠΟΣΤΟΛΟΣ ΒΑΡΝΑΒΑΣ

*(ἐκ παλαιᾶς χαλκογραφίας)*

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΙΕΡΑ ΣΥΝΟΔΟΣ

## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

'Αριθ. { Πρωτ. 539 / Διεκπ. 569

'Αθήνησι 28 Μαρτίου 1953

Πρὸς
Τὴν 'Ιερὰν 'Αρχιεπισκοπὴν 'Αθηνῶν

'Η 'Ιερὰ Σύνοδος ἐν τῇ συνεδρίᾳ αὐτῆς τῆς 13ης Μαρτίου ἐ. ἔ. ἔλαβε γνῶσιν τοῦ ὑπ' ἀριθμ. 411 καὶ ἀπὸ 12-3-1953 ὑμετέρου ἐγγράφου, δι' οὗ διαβιβάζετε 'Ακολουθίαν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Βαρνάβα, συντεθεῖσαν ἐπὶ τῇ βάσει ἀρχαίων χειρογράφων κωδίκων καὶ ἄλλων πηγῶν ὑπὸ τοῦ Πανοσιολ. 'Αρχιμανδρίτου κ. Βαρνάβα Τζωρτζάτου, Διδάκτορος τῆς Θεολογίας, Διευθυντοῦ παρὰ τῇ 'Αποστολικῇ Διακονίᾳ τῆς 'Εκκλησίας τῆς 'Ελλάδος.

'Αναθέσασα δὲ τὴν μελέτην αὐτῆς εἰς τὸν ἐκ τῶν Συνοδικῶν Συνέδρων Σεβ. Μητροπολίτην Φιλίππων καὶ Νεαπόλεως κ. Χρυσόστομον, ἐπληροφορήθη παρ' αὐτοῦ, μελετήσαντος ταύτην, ὅτι ἡ ὡς εἴρηται ἱερὰ 'Ακολουθία, «ἔχουσα ἄριστα», οὐδὲν περιέχει τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὴν παράδοσιν τῆς καθ' ἡμᾶς 'Αγιωτάτης 'Εκκλησίας καὶ πρὸς τὴν ἐκκλησιαστικὴν ἐν γένει παρ' ἡμῖν ἱερὰν 'Υμνογραφίαν.

Ὅθεν, Συνοδικῇ διαγνώμῃ, γνωρίζομεν ὑμῖν, ὅτι ἐγκρίνεται ἡ ὡς ἄνω 'Ακολουθία τοῦ ἁγίου ἐνδόξου ἀποστόλου Βαρνάβα, ἡ διὰ τοῦ τύπου ἔκδοσις αὐτῆς καὶ ἡ χρῆσις αὐτῆς ἐν τοῖς ἱεροῖς Ναοῖς.

† Ο ΑΘΗΝΩΝ ΣΠΥΡΙΔΩΝ, Πρόεδρος

'Ο 'Αρχιγραμματεύς
'Αρχιμ. Χρυσόστομος Θέμελης

Κοινοποίησις:

'Αρχιμ. Βαρνάβαν Τζωρτζᾶτον
Διευθυντὴν παρὰ τῇ 'Αποστολικῇ Διακονίᾳ.

ΤΗ, ΙΑ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΒΑΡΝΑΒΑ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν Α΄ στάσιν τοῦ ***Μακάριος ἀνήρ.*** Εἰς τὸ ***Κύριε ἐκέκραξα*** ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ΄. **Ὁ ἐξ Ὑψίστου κληθείς.**

Λ Ἀξίως ὄντως Βαρνάβας ἐπεκλήθης, μύστα πανᾰοίδιμε ὑπ' Ἀποστόλων Χριστοῦ· σὺ γὰρ υἱὸς παρακλήσεως πᾶσιν ἐδείχθης, χρησταῖς ἐλπίσι παραμυθούμενος, Σταυρόν, φόρτον ἄρας τε θεῖον ἐπ' ὤμων σου, ζυγόν τε φέρων χρηστότατον, τὸν τοῦ Κυρίου, τῆς ἁμαρτίας ἄχθος ἐξαίροντα. Ὅθεν σε πίστει μακαρίζομεν, εὐφημοῦντες ἀεὶ παμμακάριστε, ὡς Ἀπόστολον μέγαν, Παρακλήτου ὡς ἐπώνυμον.

Λ Μέγα τὸ κλέος τὸ σόν ἐστι Βαρνάβα, ἐπείπερ αὐτόκλητος Χριστῷ προσέδραμες, πεισθεὶς τοῖς λόγοις καὶ θαύμασι, διὸ προφρόνως, μετὰ τοὺς δώδεκ' Αὐτὸς σὲ ἔταξεν, ἐν τοῖς ἑβδομήκοντα κορυφαιότατον· αὖθις δὲ Πνεῦμα τὸ Ἅγιον, μετὰ τοῦ Παύλου, Ἀπόστολόν σε ἴδιον ἔφησεν, ἐξαποστεῖλαν προηγούμενον, εἰς τὰ ἔθνη Χριστῷ ἃ προσήγαγες, προσκυνεῖν ἐκδιδάξας, μίαν φύσιν τρισυπόστατον.

Λ Εὐχαριστήριον ὕμνον σοι προσᾴδει, πατρὶς ἡ τιμία σου Κύπρος ἀοίδιμε, ὅτι σὺ ταύτην Ἀπόστολε ἐξ οἰκουμένης πάσης σαυτῷ εἰς θρόνον ἐστήριξας, καὶ γὰρ Ἀντιόχειαν σὺ προητοίμασας, καὶ Ῥώμην αὖθις τῷ Σίμωνι, τὴν Ἀλεξάνδρου Μάρκῳ τῷ πάνυ πρώτας τῶν πόλεων, τὴν δὲ πατρίδα οἰκειωσάμενος, Ἀποστόλων εἰς θρόνον ἀπέδειξας, βασιλείοις τιμήσας, αὐτεξουσίοις τε γνωρίσμασιν.

### Ἕτερα. Ἦχος ὁ αὐτός. Ἔδωκας σημείωσιν.

[Λ, Ε, $Ε_1$, $Ε_2$, $Ε_3$, $Ε_4$, $Ε_5$, $Ε_6$, $Ε_7$, $Ε_8$, $Ε_9$, $Ε_{10}$, $Ε_{11}$, Μ, Α]

Εἴληφας Ἀπόστολε, κατὰ δαιμόνων ἀήττητον, ἐξουσίαν καὶ δύναμιν, Χριστοῦ ἐν ὀνόματι, τὰς ἀρχὰς τοῦ σκότους, τούτων ἀπελαύνειν, καὶ διελήλυθας τὴν γῆν, καταλαμπρύνων καθάπερ ἥλιος· καὶ Ρώμην τὴν ἀοίδιμον, καταλαβὼν πρῶτος ἔνδοξε, τοῦ Χριστοῦ ἀνεκήρυξας τὴν σωτήριον ἔλευσιν.

[Αὐτόθι]

Πρώτην ἀγαθότητα, καὶ φυσικὴν καὶ ὑπέρθεον, πολιτείαν μιμούμενος, ἀνὴρ ἐχρημάτισας, ἀγαθὸς Βαρνάβα, κατὰ μετουσίαν, καὶ παρακλήσεως υἱός, διαφερόντως ὀνομαζόμενος, τῶν τρόπων σου χρηστότητι, καὶ τῇ τοῦ νοῦ καθαρότητι, τοὺς πιστοὺς παρεκάλεσας, ἐπιμένειν τῇ χάριτι.

[Λ, Ε, $Ε_1$, $Ε_3$, $Ε_8$, $Ε_4$, $Ε_5$, $Ε_6$, $Ε_7$, $Ε_8$, $Ε_9$, Μ, Α]

Ὄργανον εὐάρμοστον, τῇ θεϊκῇ κυβερνώμενον, ἐνεργείᾳ τοῦ Πνεύματος, Βαρνάβα γενόμενος, τῶν ἐθνῶν τὴν κλῆσιν, σὺ κατεπιστεύθης, πρὸς τὴν ἐπίγνωσιν Χριστοῦ, μεταρρυθμίζων λόγοις καὶ πράξεσι, καὶ ταῦτα κατεφώτισας, ὁμολογεῖν ἀληθέστατα, Ἰησοῦ τὴν θεότητα, καὶ Σωτῆρος ἀοίδιμε.

### Δόξα. Ἦχος πλ. β'.

[Π, Ε, $Ε_1$, $Ε_2$, $Ε_3$, $Ε_4$, $Ε_5$, $Ε_6$, $Ε_7$, $Ε_8$, $Ε_9$, $Ε_{10}$, $Ε_{11}$, Ρ, $Ρ_1$, $Ρ_2$, $Ρ_3$, $Ρ_4$, Β, $Β_1$, Ο. Ἐν Α μετά τινων παραλλαγῶν ὡς ἰδιόμελον τῆς λιτῆς]

Βαρνάβα πανεύφημε, τὸ ἐξαστράπτον κειμήλιον τοῦ Ἁγίου Πνεύματος, ὡς υἱὸς παρακλήσεως· ὁ καὶ πρὸ Παύλου τῶν ἑβδομήκοντα μαθητῶν γενόμενος κορυφή, καὶ μετὰ Παύλου πάλιν τὸ Εὐαγγέλιον κηρύξας τοῖς πέρασιν. Ὅθεν καὶ τῆς χάριτος τὸν λόγον δι' ἔργων πληρώσας, σεαυτὸν προσήνεγκας ὁλοκάρπωμα καθαρὸν τῷ Διδασκάλῳ σου Χριστῷ. Πρέσβευε διὰ παντός, Ἀπόστολε ἔνδοξε, ἐν εἰρήνῃ σῴζεσθαι τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

### Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀναμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς,

φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας.

### Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. ια´, 19—26)

Ἐν ταῖς ἡμέραις ἐκείναις, οἱ μὲν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. Καὶ ἦν χεὶρ Κυρίου μετ᾽ αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς Ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας· ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν αὐτὸν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

### Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. ιγ´, 1—14)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἦσαν τινὲς ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ ἐπικαλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος καὶ Σαῦλος. Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τό ἔργον ὃ προσκέκλημαι αὐτούς. Τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες αὐτοῖς τὰς χεῖρας ἀπέλυσαν. Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον. Καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην. Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς. Ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ.

Οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ· ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος—οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ—ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως. Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος Ἁγίου καὶ ἀτενίσας πρὸς αὐτόν, εἶπεν· ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥαδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. Παραχρῆμα δὲ ἔπεσεν ἐπ᾿ αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου. Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρίσας ἀπ᾿ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας.

## Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

(Πράξ. ιε΄, 22—31)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαββᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε. Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα, ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. Ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε. Ἔρρωσθε. Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον εἰς Ἀντιόχειαν καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν τὴν ἐπιστολήν. Ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει.

## Εἰς τὴν Λιτὴν ἰδιόμελα.

### Ἦχος β΄.

Α Δεῦτε τῶν πιστῶν τὰ πλήθη σήμερον, φαιδρῶς ἑορτάσωμεν ἐπὶ τῇ θείᾳ πανηγύρει τοῦ ἐνδόξου Ἀποστόλου καὶ Θεοκήρυκος, καὶ θείοις ἐγκωμίοις αὐτὸν στέψωμεν λέγοντες· Χαίροις Βαρνάβα

ἀπόστολε, ὁ πρῶτος ἐν Ἱερουσαλὴμ κηρύξας τὸ Χριστοῦ Εὐαγγέλιον. Χαίροις ὁ τῶν Ἀντιοχέων θεῖος Διδάσκαλος, ὃς καὶ παρεκάλεις αὐτοὺς τῇ Ὀρθοδόξῳ προσμένειν πίστει. Χαίροις ὁ τῶν ἑβδομήκοντα ἀποστόλων κορυφαῖος, καὶ τῶν δώδεκα ἰσοστάσιος. Χαίροις τῆς Ἰταλίας ὁ πρῶτος κήρυξ, Εὐρώπης δὲ καὶ Ἀσίας ὁ θεῖος ῥήτωρ. Χαίροις τῶν Κυπρίων τὸ μέγιστον εὖχος καὶ θεῖον βλάστημα, πρόεδρος καὶ ποιμὴν αὐτῶν καὶ τεῖχος ἀκράδαντον. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς Χριστὸν τὸν Θεόν, πρέσβευε ὑπὲρ τῆς ἐκλεκτῆς σου ποίμνης, ἀσάλευτον προσμένειν τῇ πίστει τοῦ Χριστοῦ, ἐρηρεισμένην καλῶς εἰς αἰῶνα αἰῶνος, πανεύφημε.

Ὁ αὐτός.

A Βαρνάβα πανεύφημε, ὁ τῶν Κυπρίων θεῖος βλαστός, καὶ μέγα καύχημα, ὁ τῶν ἑβδομήκοντα ἀποστόλων κορυφαῖος, καὶ τῶν δώδεκα ἰσοστάσιος, ὁ τὴν πατρίδα τιμήσας εἰς θρόνον, πανένδοξε, τοῖς βασιλείοις χαρίσμασι, καὶ αὐτεξουσίοις γνωρίσμασιν, ὁ καὶ θείας πίστεως πεπληρωμένος ὑπάρχων· πρέσβευε Χριστῷ τῷ σῷ Διδασκάλῳ καὶ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. α΄.

[ Ἐν Α ὡς δοξαστικὸν τῆς λιτῆς ]

Πιστῶς πανηγυρίζομεν τὴν πάνσεπτον καὶ χαρμόσυνον ἡμέραν τῆς σῆς μνήμης, Βαρνάβα πανεύφημε, ἀνευφημοῦντές σε ὡς υἱὸν παρακλήσεως, τῶν ἑβδομήκοντα ἀποστόλων κορυφαιότατον, καὶ τῶν δώδεκα ἰσοστάσιον, τῶν Ἀντιοχέων δὲ πάλιν φωστῆρα, καὶ τῶν Κυπρίων θεῖον πρόεδρον καὶ ποιμένα. Ὅθεν καὶ τῷ Δεσποτικῷ Θρόνῳ σὺν ἀσωμάτοις ἀεὶ παριστάμενος, Ἀποστόλων τε καὶ Μαρτύρων χοροῖς, ἐκτενῶς ἱκέτευε Χριστὸν τὸν Θεόν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Ἱλαρίωνος Ἀρχιεπισκόπου Κύπρου.

[ Ἐν Α ὡς δοξαστικὸν τῶν ἀποστίχων ]

Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ καὶ ἄμωμος, Βαρνάβα ἰσάγγελε, τὴν ἄνω Ἱερουσαλὴμ Πατρίδα οὐράνιον· ἔχει δὲ καὶ τὸ πολύαθλόν σου σῶμα, τὴν θεοδίδακτόν σου Κύπρον πατρίδα ἐπίγειον. Ἄνω μὲν

τὸ Πνεῦμα παρὰ τῷ Θρόνῳ τοῦ ἀοράτου Θεοῦ μετ' ἀγγέλων συναγάλλεται, τῇ τερπνοτάτῃ θέᾳ τῆς ἀπροσίτου δόξης ἐντρυφῶν τῆς θεότητος, καὶ τῆς ὁμοουσίου Τριάδος τῇ ἑνώσει θεούμενον· κάτω δὲ ἡ σωρὸς τῶν τιμίων λειψάνων σου, ἰαμάτων πηγὴ ἀναδείκνυται. Ἐπὶ πολὺ δὲ διαρκέσασα, διὰ τὰς πυκνὰς ἐνεργείας, τόπος ἰάσεων ἐπικαλεῖται. Διὸ δὴ καὶ νῦν ἡμῖν ἀοράτως συνών, ἐκ τῆς οὐρανίου περιωπῆς, ἐν Θεῷ τε ἐπισκεπτόμενος ἡμᾶς, ἀποσόβησον ἀφ' ἡμῶν ὡς φιλόστοργος, πᾶσαν ὀργὴν ἐπερχομένην διὰ τὰς ἀνομίας ἡμῶν, καὶ πᾶσαν ἐπιβουλὴν τοῦ διαβόλου, αἰτούμενος ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Παρθένε, ἁγνὴ καὶ δεδοξασμένη, μετὰ τοῦ Ἀποστόλου, τὸν σὸν Υἱὸν καὶ Βασιλέα καθικέτευε, ἀπὸ πάσης ἀνάγκης σῶσαι τοὺς πιστῶς σε μακαρίζοντας.

Εἰς τὸν στίχον Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Α Χαίροις ἀποστολὴν τῶν ἐθνῶν, ἐμπιστευθεὶς ὑπὸ τοῦ Πνεύματος ἔνδοξε, Βαρνάβα τῆς οἰκουμένης, ἀκτινοβόλος φωστήρ, Ἐκκλησίας βάσις ἀπερίτρεπτος, ὁ κήρυξ τῆς χάριτος, εὐσεβείας διδάσκαλος, πίστεως στύλος, γεγονὼς προφητείας τε ἐνδιαίτημα καθαρὸν καὶ σεβάσμιον, Παύλου ὁ προηγούμενος, τῆς Κύπρου τὸ καύχημα, τῶν ἑβδομήκοντα πρῶτος, τῶν δώδεκα ἰσοστάσιος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. **Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ,**
**καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.**

Α Χαίροις ὁ πάλαι μὲν Ἰωσῆ, προσηγορίαν κληρωσάμενος ἔνδοξε, τανῦν δὲ τῶν ἀρετῶν σου περιουσίᾳ πολλῇ, τὴν ἐπωνυμίαν ἀμειψάμενος, υἱὲ παρακλήσεως, Παρακλήτου ἐπώνυμε, ἐκ τοῦ Πατρὸς μὲν προορισθεὶς εἰς ἀπόστολον, ἀπὸ Υἱοῦ τε καὶ Ἁγίου δὲ Πνεύματος, σκεῦος ἁγνὸν τῆς χάριτος, ὁ πίστεως ἔμπλεως, καὶ χαρισμάτων παντοίων, ὡς ἀγαθὸς μαρτυρούμενος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ,
ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Α Χαίροις Ἀντιοχέων λαμπτήρ, χριστιανῶν ἐπωνυμίαν ἐνθέμενος, καὶ Ρώμην πρῶτος φωτίσας, Εὐαγγελίου αὐγαῖς, καὶ τῆς Ἰταλίας τὸ περίγειον, θαυμάτων πυρσεύμασι καταπλήξας τὰ πέρατα, Μεδιολάνων προεδρεύσας ἐν χάριτι, καὶ τὴν μέλαιναν ἐκδιώξας ἀσέβειαν, αὖθις εἰς Ἀλεξάνδρειαν, Εὐρώπην ἐπέδραμες, Κύπρον σὴν πάλιν πατρίδα, ἀρχὴν καὶ τέλος σοῖς αἵμασι, καὶ λόγοις κοσμήσας, νῦν πρεσβεύεις πρὸς τὸν Κτίστην, ἐλεηθῆναι ἡμᾶς.

Δόξα. Ἦχος πλ. δ'.

[Π, Ε, $Ε_1$, $Ε_2$, $Ε_3$, $Ε_4$ $Ε_5$, $Ε_6$, $Ε_7$ $Ε_8$, $Ε_9$, $Ε_{10}$, $Ε_{11}$]

Ἀπόστολε τοῦ Σωτῆρος, Βαρνάβα πανεύφημε, τὸ δοχεῖον τῆς πίστεως, υἱὲ παρακλήσεως, ἡ γαλήνη τῶν χειμαζομένων, ἀπαύστως ἐν τῇ μνήμῃ σου, παρρησίαν ἔχων, ἱκέτευε ἐν εἰρήνῃ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἀπολυτίκιον. Ἦχος δ'.

Α Ρ Ὡς τοῦ Παύλου πέλων συνέκδημος καὶ Χριστὸν κηρύξας τοῖς ἔθνεσι, τῶν ἀγγέλων ὁμότιμος γέγονας, Βαρνάβα ἀπόστολε· διὸ δυσώπει τὸν Κύριον, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος α'.

Α Τὸ μέγα κλέος τῆς Κύπρου, τῆς Οἰκουμένης τὸν κήρυκα, τῶν Ἀντιοχέων τὸν πρῶτον τῆς Χριστωνύμου κλήσεως ἀρχιτέκτονα, τῆς Ρώμης τὸν κλεινὸν εἰσηγητήν, καὶ θεῖον τῶν ἐθνῶν σαγηνευτήν, τὸ τῆς χάριτος δοχεῖον, τοῦ Παρακλήτου Πνεύματος τὸν ἐπώνυμον, Ἀπόστολον τὸν μέγαν, τὸν τοῦ θείου Παύλου συνέκδημον, τῶν ἑβδομήκοντα πρῶτον, τῶν δώδεκα ἰσοστάσιον·

πάντες συνελθόντες σεπτῶς οἱ πιστοί, τὸν Βαρνάβαν ᾄσμασι στέψωμεν, πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα· καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν.

Καθίσματα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον λόγον.

A Τὸν Ἀπόστολον πάντες ἀνευφημήσωμεν, ὡς αὐτόπτην τοῦ Λόγου καὶ θεῖον κήρυκα, καὶ τῶν ἐθνῶν πνευματικὸν σαγηνευτὴν ὡς ἀληθῶς, ὅτι προσήγαγεν ἡμᾶς εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, Βαρνάβας ὁ θεηγόρος, ὁ μέγας ἡμῶν προστάτης, καὶ νῦν πρεσβεύει ἐλεηθῆναι ἡμᾶς.

Δόξα· καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν ἐν σοὶ τὰς ἐλπίδας, Παρθένε Ἄχραντε, ἀνενδοιάστως ἐχόντων σκέπη ὑπάρχουσα, ἐκ ποικίλων πειρασμῶν καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν, ἐλευθέρωσον ἡμᾶς, πρεσβεύουσα τῷ Υἱῷ σου, σὺν τοῖς Αὐτοῦ Ἀποστόλοις, καὶ σῶσον πάντας τοὺς ἀνυμνοῦντάς σε.

Μετὰ τὴν β΄ στιχολογίαν.

Καθίσματα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

E₁ Λογικὸς ἀνεδείχθης ὡς οὐρανός, διηγούμενος δόξαν τὴν τοῦ
E₆ Θεοῦ, θαυμάτων λαμπρότησι, καὶ δυνάμεων λάμψεσιν,
P ἀγνωσίας νύκτα διώκων ἐν χάριτι, θεογνωσίας φέγγος ἀστράπτον τοῖς πέρασιν. Ὅθεν τὴν φωσφόρον καὶ ἁγίαν σου μνήμην, δοξάζομεν σήμερον οἱ πιστοὶ καὶ βοῶμέν σοι, Βαρνάβα

πανεύφημε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα· καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων ἀεί με ἐξαίρουσα. Ὅθεν ὡς ἐκ μέσης φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν τόκον σου, Ἄχραντε.

Μετὰ τὸν Πολυέλαιον.

Καθίσματα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ε10 Μαθητῶν ἑβδομήκοντα κορυφὴ καὶ τοῦ Παύλου συνέκδημος τοῦ σοφοῦ, ἐδείχθης μακάριε, καὶ διδάσκαλος ἔνθεος τῶν ἐθνῶν Βαρνάβα, καὶ κήρυξ τῆς πίστεως, ἐπιστρέφων ἐκ πλάνης λαὸν πρὸς τὸν Κύριον. Ὅθεν καὶ υἱόν σε παρακλήσεως ὄντα, πιστῶς μακαρίζομεν καὶ συμφώνως βοῶμέν σοι· Θεοκήρυξ ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα· καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὅταν ἔλθῃ τοῦ κρῖναι πᾶσαν τὴν γῆν, ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητής, προβάτοις με σύνταξον δεξιοῖς τὸν κατάκριτον, καὶ ἐξωτέρου σκότους καὶ πάσης κολάσεως, τὸν σὸν ἀχρεῖον δοῦλον ἐξάρπασον, Ἄχραντε· ἵνα εὐχαρίστως μεγαλύνω τὸν πλοῦτον, τῆς σῆς ἀγαθότητος, Θεοτόκε πανύμνητε, καὶ βοῶ σοι γηθόμενος, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Οἱ Ἀναβαθμοί.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' Αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.(τρίς)

Εὐαγγέλιον.

(Ζήτει τῇ Παρασκευῇ τῆς Ε΄ ἑβδομάδος Λουκᾶ)

Ἐκ τοῦ κατὰ Λουκᾶν.

(Κεφ. ι΄, 1—15)

Τῷ καιρῷ ἐκείνῳ, ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα μαθητάς, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο, πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι. Ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς ἄρνας ἐν μέσῳ λύκων. Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μὴ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Εἰς ἣν δ᾽ ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ. Καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ᾽ ὑμᾶς ἀνακάμψει. Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῆς· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι. Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. Καὶ εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν· καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ Βασιλεία τοῦ Θεοῦ. Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε· καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπὸ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν. Πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ Βασιλεία τοῦ

Θεοῦ. Λέγω δὲ ὑμῖν, ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται, ἢ τῇ πόλει ἐκείνῃ. Οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδᾶ· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν. Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν. Καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ Οὐρανοῦ ὑψωθεῖσα, ἕως Ἅδου καταβιβασθήσῃ.

Ὁ Ν' Ψαλμός.

Δόξα.

Ταῖς τοῦ Ἀποστόλου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Καὶ εὐθὺς τὸ Ἰδιόμελον. Ἦχος πλ. β'.

Ἀπόστολε τοῦ Σωτῆρος, Βαρνάβα πανεύφημε, τῆς Ἰταλίας ὁ διδάσκαλος, τῶν Ἀντιοχέων ὁ θεῖος κήρυξ καὶ τῶν Κυπρίων τὸ μέγα καύχημα, υἱὲ παρακλήσεως, ἡ γαλήνη τῶν χειμαζομένων, παρρησίαν ἔχων πρὸς Κύριον, ἀπαύστως ἱκέτευε, ἐν εἰρήνῃ φυλαχθῆναι τὴν σὴν ποίμνην, θεόπνευστε.

Σῶσον ὁ Θεός. Καὶ καθ' ἑξῆς.

Ὁ Κανὼν τοῦ Ἀποστόλου

οὗτινος ἡ ἀκροστιχίς: Ὠδὴν πλέκω σοι Βαρνάβα θεηγόρε (ἄνευ τῶν Θεοτοκίων). Ποίημα Θεοφάνους.

[ $Ε_1$, $Ε_2$, $Ε_3$, $Ε_5$, $Ε_6$, $Ε_7$, $Ε_8$, $Ε_9$, $Ε_{11}$, καὶ ἐν Ε μέχρι τῆς ς' ᾠδῆς. Ἐν Μ δύο ἐξ ἑκάστης ᾠδῆς ]

Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσέ ποτε.

Ὡς ἀνὴρ ὑπάρχων ἀγαθός, καὶ τῆς παρακλήσεως υἱὸς φανείς, τῆς ψυχῆς μου τὴν κάκωσιν, καὶ τῆς ἁμαρτίας μου τὴν ψυχώλεθρον ἀθυμίαν ἀπέλασον, ὅπως εὐφροσύνης ἔμπλεως γενόμενος ὑμνήσω σε.

Δεδεγμένος μάκαρ, τὸ σεπτὸν φέγγος τοῦ βλαστήσαντος, ἐκ τῆς φυλῆς τοῦ Ἰούδα, πανόλβιε, Χριστοῦ τοῦ Παντάνακτος, ἐκ λευΐτιδος συγγενείας ὁρμώμενος, τῆς ἱερωσύνης, νόμου τε μετάθεσιν ἐκήρυξας.

Ἡ λαμπρά σου πάνσοφε ζωή, πρώτης ἀγαθότητος καὶ φυσικῆς μετουσίας παρέδειξεν ἀγαθόν σε δεύτερον, ταῖς ἐκεῖθεν ἀγαθυνόμενον χάρισιν, ἔνδοξε Βαρνάβα, γέννημα τῆς θείας παρακλήσεως.

Θεοτοκίον.

Νεανίδων θείων ὁ χορός, ἐνθεαστικώτατα ἐν γυναιξί σε καλὴν ᾀσματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναῖς ὡραϊζομένην θεότητος, τὸν καλλοποιὸν γὰρ Λόγον ὑπὲρ λόγον ἀπεκύησας.

Ἕτερος Κανών.

Ποίημα Ἀνωνύμου Κυπρίου (ἐκτὸς τῶν Θεοτοκίων).

[Ἐν Α]

Ἦχος ὁ αὐτός.

Ὁ πιστὸς λαὸς ὁ πανταχοῦ, ταῖς διδασκαλίαις σου καὶ ταῖς αὐγαῖς φωτισθεὶς τῶν θαυμάτων σου, ἀπείρους τὰς χάριτας, τῇ πατρίδι σου Κύπρῳ νέμει, Ἀπόστολε, ἥν περ διασῴζοις, πάσης ἐναντίας περιστάσεως.

Ὁ Λουκᾶς σε, μάκαρ, πρωτουργὸν Χριστωνύμου κλήσεως Ἀντιοχέων ἐν Πράξεσιν ἔγραψε, Βαρνάβα ἀπόστολε· ὅθεν ἅπαντες τῇ πατρίδι σου νέμουσιν, ἔξοχα πρεσβεῖα, καὶ σὲ σφῶν προστάτην ἐπιγράφονται.

Ὁ ναός σου, μάκαρ, ὁ σεπτός, ὡς τῇ θείᾳ κόνει σου πεπλουτισμένος, Βαρνάβα πανεύφημε, πηγὴ ἀναδείκνυται τῶν ἰάσεων τοῖς ἐν πίστει προστρέχουσι καὶ ἐξαιτουμένοις, ψυχῶν καὶ σωμάτων τὴν παράκλησιν.

Θεοτοκίον.

Ἀγαθὸν κυήσασα Θεόν, πάντας ἀγαθύνοντα, τοὺς τῇ φθορᾷ κεκρατημένους Πάναγνε, τοῦτον καθικέτευε Παναμώμητε, σὺν Προφήταις καὶ Μάρτυσι καὶ τοῖς Ἀποστόλοις, πάντας λυτρωθῆναι παραβάσεως.

Εἰ τύχοι ἐκτὸς Ἑορτῆς, Καταβασία.

» Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον » ἐρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανη» γυρίζων, καὶ ἄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Νεφέλη τὸν ἑκούσιον, ἡμῖν ὄμβρον φέρουσα, ἐκ τῶν πηγῶν τῆς χάριτος καθωράθης, Βαρνάβα ἔνδοξε, καὶ τρυφῆς τὸν χειμάρρουν ποταμίζουσα.

Ποικίλαις δαδουχούμενον, λαμπηδόσι βλέπουσα, ἡ πανσθενὴς τοῦ Πνεύματος ἐξουσία, τῶν μυστηρίων Χριστοῦ, λειτουργὸν ἀφορίζει σε, πανεύφημε.

Λαμπόμενοι τῇ χάριτι, τοῦ Σταυροῦ σου Δέσποτα, οἱ εὐκλεεῖς Ἀπόστολοι, Σοὶ τὰ ἔθνη πίστει προσάγουσιν, ὁ Βαρνάβας καὶ Παῦλος οἱ θεόφρονες.

Θεοτοκίον.

Ἐφάνης καθαρότητι, ὡσεὶ κρῖνον Δέσποινα, τῶν ἀκανθῶν ἐκλάμπουσα, λαμπηδόσι τῆς Παρθενίας σου ἐν μέσῳ, Θεοτόκε Παναμώμητε.

Ἕτερος. Ὁ αὐτός.

Σοφίας θείας ἔμπλεως, γεγονὼς καὶ πίστεως, Βαρνάβα παναοίδιμε, τὴν σὴν ποίμνην σοφίας ἔμπλησον, καὶ πίστεως καρποὺς φέρειν ἀνάδειξον.

Ἡ Κύπρος μὲν τὴν κόνιν σου, θησαυρὸν ἀσύλητον σεμνυνομένη κέκτηται, οὐρανὸς δὲ τὸ θεῖον πνεῦμά σου, ἐξ οὗ νῦν ἐποπτεύεις τοὺς τιμῶντάς σε.

Οὐράνιον πολίτευμα κεκτημένος, ἔνδοξε, πατρίδα σὴν τιμῶσάν σε, μὴ παρίδῃς κακουχουμένην δεινῶς, ἐξ ἐθνῶν τῶν τῆς Ἄγαρ, ἀλλὰ λύτρωσαι.

### Θεοτοκίον.

Χριστὸν τὸν ὑπεράγαθον, ἐκδυσώπει, Πάναγνε, σὺν Ἀποστόλοις ἅπασι, πάσης βλάβης καὶ περιστάσεως, καὶ κινδύνων ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

### Καταβασία.

» Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή,
» θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ
» δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

### Κάθισμα.

### Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ε, Ε, Ρ, Δογματίζων Τριάδος τὸ τριλαμπές, διεσκέδασας πλάνην πολυσχιδῆ, καὶ νύκτα ἀπήλασας, ἀγνωσίας μακάριε, καὶ βωμοὺς καθεῖλες εἰδώλων τῇ χάριτι, καὶ ναοὺς εἰργάσω βροτοὺς τοῦ Θεοῦ ἡμῶν. Ὅθεν ὡς φωστῆρα ἀπλανῆ σε τιμῶμεν, καὶ πόθῳ γεραίρομεν ἐν τῇ μνήμῃ σου σήμερον, Βαρνάβα ἀπόστολε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

### Δόξα. Ἦχος ὁ αὐτός. Αὐλῶν ποιμενικῶν.

Μ Α Τοῦ νόμου τὴν σκιάν, σὺ λιπὼν ὡς ἐχέφρων, τῇ χάριτι φοιτᾷς, θεοφόρε Βαρνάβα, κατὰ πόλιν καὶ χώραν, τοῦ σταυρωθέντος φέρων τὸ ὄνομα· θαύμασι καὶ σημείοις, τοὺς ἀπειθοῦντας πρὸς τὴν ἀλήθειαν, καθοδηγήσας ὤφθης ἐν Χριστῷ, τοῦ κόσμου παράκλησις.

### Καὶ νῦν. Θεοτοκίον. Τὸ προσταχθὲν μυστικῶς.

Τὸν ἀπερίληπτον Θεὸν Υἱὸν καὶ Λόγον, ἀνερμηνεύτως ὑπὲρ νοῦν ἐκ σοῦ τεχθέντα, Θεοτόκε ἱκέτευε σὺν τῷ Ἀποστόλῳ, εἰρήνην τῇ οἰκουμένῃ εἰλικρινῆ, βραβεῦσαι, καὶ τῶν πταισμάτων δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ βασιλείας οὐρανῶν, δι᾽ ἄκραν ἀγαθότητα, ἀξιῶσαι τοὺς δούλους σου.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἑπόμενος προσταγαῖς τοῦ Δεσπότου, ἀπόστολε Βαρνάβα πανεύφημε, τοῖς πενομένοις διένειμας ὅλην σου τὴν ὕπαρξιν, καὶ Χριστοκήρυξ ἐγένου μεγαλόφωνος.

Κατέλαβες ἀρετῶν λαμπροτάτην ἀκρότητα, καὶ Παῦλον εὑράμενος, τὸν θεηγόρον ἀπόστολον, πᾶσι κατηγγείλατε, τοῦ μυστηρίου τὸ βάθος τὸ ἀπόρρητον.

Ὡς ἥλιος διατρέχων τοῦ κόσμου τὰ πέρατα, Βαρνάβα πανένδοξε, ἀκτινοβόλοις ἐλλάμψεσι, Παύλου ἐφεπόμενος, καταλαμπρύνεις τῷ λόγῳ τῷ τῆς χάριτος.

Συμμέτοχος τῶν παθῶν τοῦ Σωτῆρος γενόμενος, Βαρνάβα πανεύφημε, ἐν οὐρανίοις σκηνώμασι Τούτῳ συνδεδόξασαι, τῆς ὑπὲρ νοῦν εὐφροσύνης ἐμφορούμενος.

Θεοτοκίον.

Ἡ τῆς Εὔας Θεομῆτορ κατάρα, τῷ τόκῳ σου λέλυτε Πανάμωμε, σεσαρκωμένον γὰρ τέτοκας Λόγον τὸν ἀΐδιον, τὸν εὐλογίαις τὸν κόσμον στεφανώσαντα.

Ἕτερος. Ὁ αὐτός.

Συνέκδημόν σε τοῦ Παύλου, Βαρνάβα, γενόμενον, καλῶς τὸν ἀγῶνά τε ἀγωνισάμενον, δόξης σε Λόγος ὁ προάναρχος, συγκληρονόμον τῆς αὐτῆς κατηξίωσεν.

Τῷ Πέτρῳ σὺ προκατήρτισας Ῥώμην, ἀοίδιμε, Ἀλεξάνδρου πόλιν τε Μάρκῳ, σοῖς λόγοις καὶ θαύμασιν· ὅθεν τῶν ἀγώνων σε Χριστὸς ἀμείψας, ἀξίως ἐστεφάνωσεν.

Προστάτην σε τῆς ἡμῶν σωτηρίας γινώσκομεν, τὰ τῷ σῷ κηρύγματι πεφωτισμένα, θεόσοφε, ἔθνη, καὶ τιμῶμέν σου τὴν θείαν κόνιν καὶ Κύπρον τὴν ἐνέγκασαν.

Θεοτοκίον.

Πανύμνητε, ἡ Θεὸν ὑπερύμνητον τέξασα, ὑπὲρ τῶν ὑμνούντων σε, σὺν Ἀποστόλοις ἱκέτευε, ὅπως λυτρωθείημεν, ἁμαρτιῶν καὶ κινδύνων καὶ κολάσεως.

Καταβασία.

» Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ Παρθένου σαρκώσεως,
» Σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύ-
» γαζε· δόξα τῇ δυνάμει Σου, Κύριε.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.

Ὁ νόμου σκιὰν ὑπερβὰς καὶ χάριτι λαμπόμενος, τῶν ἐθνῶν τὸ πλήρωμα, εὐαγγελιζόμενος ἐφώτισεν, ὁ θεόφρων Βαρνάβας, τῷ τοῦ Χριστοῦ κηρύγματι.

Ἰσχὺν κραταιὰν τοῦ Ἁγίου Πνεύματος ἀπόστολε, σαφῶς περικείμενος, πονηρὰ πνεύματα κατέβαλες, τῆς αὐτῶν κακουργίας τὸν κόσμον λυτρωσάμενος.

Βοῶντος φωνὴ ἐν ἐρήμοις ἔθνεσιν ἐγένου, σοφέ, τῆς θείας σαρκώσεως τὸ ὑπὲρ κατάληψιν μυστήριον, ἀναγγέλλων τοῖς πᾶσι, Βαρνάβα παμμακάριστε.

Θεοτοκίον.

Ἰδοὺ ἐν γαστρί, Θεοτόκε Πάναγνε, Χριστὸν τὸν Θεόν, ὑπὲρ λόγον ἔσχηκας, ὥσπερ Ἠσαΐας προηγόρευσεν, ὑπὲρ φύσιν δὲ τοῦτον, Θεογεννῆτορ, τέτοκας.

Ἕτερος. Ὁ αὐτός.

Βαρνάβα πιστοὶ τῷ σεπτῷ τεμένει πάντες δράμωμεν, βρύει γὰρ ἰάματα, ψυχῇ τε καὶ σώματι σωτήρια· πᾶς διψῶν ἀρυσάσθω, κενοῦται γὰρ οὐδέποτε.

Εἰς θρόνον τὴν σὴν Ἀποστόλων Κύπρον ἐγκαθίδρυσας, Βαρνάβα, αὐτόνομον, αὖθις δὲ γνωρίσμασι τετίμηκας, τῶν πιστῶν Βασιλέων Ἰουστινιανοῦ καὶ Ζήνωνος.

Αγνώμων μηδείς, πονηρὸς μὴ γένοιτο ζηλότυπος, ἔχει γάρ τι μέγιστον Κύπρος ἡ περίδοξος καὶ ὄλβιον, σὺν σπαργάνοις τὴν κόνιν, Βαρνάβα τοῦ παμμάκαρος.

Θεοτοκίον.

Φωτί με τῷ σῷ, τὸν ἐν σκότει κείμενον καταύγασον, Φωτὸς οἰκητήριον, καὶ σὺν Ἀποστόλοις καθικέτευε, ἀπὸ πάσης ἀνάγκης ῥυσθῆναι ταῖς πρεσβείαις σου.

Καταβασία.

» Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε
» Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας
» ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, τῆς δικαιοσύνης ὁ Ἥλιος, Δέσποτα, ὥσπερ ἀκτῖνα λάμπουσαν, τὸν Βαρνάβαν τὸν θεῖον ἐξήστραψας.

Ῥιζοτόμος ἀξίνη γεγένησαι, τὴν ὑλομανήσασαν ἀπάτην τέμνουσα, τοῖς ὑπὲρ λόγον θαύμασι τεθηγμένη, Βαρνάβα θεσπέσιε.

Νομοθέτης ἐδείχθης τῆς χάριτος, ὡς τῆς Παλαιᾶς Διαθήκης τὰ σύμβολα, πρὸς ἀληθείας ἔμφασιν μεταπλάττων, Βαρνάβα πανεύφημε.

Θεοτοκίον.

Οὐρανὸν ὁ τανύσας βουλήματι, οὐρανὸν ἐπίγειον ἄλλον ἀνέδειξε, σὲ Θεομῆτορ Ἄχραντε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανεν.

Ἕτερος. Ὁ αὐτός.

Ἐν ὀνείρῳ ποτέ, σὺ ἐφέστηκας, τῷ θεοσεβεῖ καὶ πιστῷ Ἀρχιποίμενι, Βαρνάβα παναοίδιμε, Ἀνθεμίῳ καὶ τούτῳ προσείρηκας.

Ἴδε δένδρον, ὑφ᾽ οὗ τεθησαύρισται, λείψανον ἐμὸν σὺν Ματθαίου τῷ τμήματι· σπεῦσον ταχὺ ἐξάγαγε, μὴ παρίδῃς τὸ φῶς ὑπὸ μόδιον.

Ως ἀνήχθη σπουδῇ Εὐαγγέλιον, Ζήνωνι πιστῷ βασιλεῖ ἐπιδίδοται, ὅς ἅμα τὸ αὐτόνομον, βασιλείοις κοσμεῖ τοῖς γνωρίσμασιν.

Θεοτοκίον.

Μετὰ πασῶν τῶν ἄνω Δυνάμεων, μετὰ Προφητῶν, Ἀποστόλων, Μαρτύρων Σου, εἰς ἱλασμὸν προσάγω Σοι, τὴν Μητέρα Σου· οἴκτιρον, σῶσόν με.

Καταβασία.

» Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρο-
» νες τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐ-
» τῆς τεχθέντα Θεὸν δοξάζοντες.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

[ Λ, Π, $E_6$, $E_7$, $E_8$, $E_{10}$, $P_1$, $P_3$, $P_5$, Α μετά τινων παραλλαγῶν ]

Τοῦ Κυρίου γέγονας παναληθὴς ὑπηρέτης, Ἀποστόλων ὤφθης τε τῶν ἑβδομήκοντα πρῶτος· ηὔγασας σὺν τῷ Παύλῳ τὸ κήρυγμά σου, ἅπασι καταμηνύων Χριστὸν Σωτῆρα. Διὰ τοῦτο ὑμνῳδίαις, σοῦ θείαν μνήμην, Βαρνάβα, γεραίρομεν.

Ὁ Οἶκος.

[ Λ, Π, $E_6$, $E_7$, $E_8$, $E_{10}$, $P_1$, $P_3$, $P_4$, $P_5$, μετά τινων παραλλαγῶν ]

Ὁ Υἱὸς τοῦ Θεοῦ καὶ συναΐδιος Πνεύματι, εὐδοκίᾳ ἐν γῇ σάρκα λαβὼν ὡς ἄνθρωπος, καὶ πάθει τιμίῳ ἀπάθειαν δούς, σὲ προχειρίζεται, μάκαρ, ἀπόστολον, καὶ ῥήτορα πιστεως, σοφὸν ἐν λόγῳ κήρυκα, σεπτὸν ἐθνῶν διδάσκαλον, καὶ τῆς Τριάδος ἀληθινὸν προσκυνητήν. Ὅθεν ἅπαντες πιστοί, τὴν σεπτὴν καὶ φωσφόρον, σοῦ θείαν μνήμην, Βαρνάβα, γεραίρομεν.

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ Ἁγίου, Ἐνδόξου καὶ Πανευφήμου Ἀποστόλου Βαρνάβα.

Στίχοι.

Α Νάρδον εὐῶδες ἐκπιεσθὲν τοῦ Κύπρου,
τὸν Βαρνάβαν ἔσχηκα, φησὶν ἡ Κύπρος.
Βαρνάβας ἐνδεκάτῃ θεοείκελος οὔμματα μῦσεν.

Ἕτεροι.

Α Τὸν Βαρνάβαν σε τὶς ἐπαινέσει λόγος,
εἰ μὴ παρείη θειόφωνός σου λόγος;
Ἑνδεκάτῃ παρακλήσεως βῆ τέκος Οὐρανὸν εὐρύν.

Ἕτεροι.

Μ Ὑπὲρ λίθον σάπφειρον, ὡς Γραφὴ λέγει,
τοὺς συντρίβοντας εἶχε Βαρνάβας λίθους.

## Συναξάριον

[Τοῦ Μηναίου]

Ὁ ἅγιος ἀπόστολος Βαρνάβας (ἑρμηνεύεται τοῦτο τὸ ὄνομα υἱὸς παρακλήσεως), ὃς καὶ Ἰωσῆς ἐν ταῖς τῶν Ἀποστόλων Πράξεσιν ἀναγέγραπται, εἷς τῶν ἑβδομήκοντα ὑπάρχων, συνέκδημος Παύλου χειροτονεῖται, ἐκ φυλῆς μὲν Λευῒ ὁρμώμενος, κατὰ τὴν Κύπρον δὲ νῆσον γεννηθεὶς καὶ τραφείς. Οὗτος πρῶτον ἐν Ἱερουσαλήμ, εἶτα καὶ ἐν Ῥώμῃ καὶ Ἀλεξανδρείᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Καὶ ἐπελθὼν ἐν Κύπρῳ ὑπό τε Ἰουδαίων καὶ Ἑλλήνων λίθοις κτείνεται καὶ πυρὶ παραδίδοται. Ὃν Μάρκος ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς συγκομίσας, ἔθετο ἐν σπηλαίῳ· καὶ ἐκπλεύσας εἰς Ἔφεσον πρὸς Παῦλον, ἀνήγγειλεν αὐτῷ τὴν τελείωσιν Βαρνάβα. Ἔκλαυσε δὲ αὐτὸν Μάρκος ἐπὶ πολύ. Οὗτος λέγεται τεθάφθαι ἅμα τῷ ὑπ' αὐτοῦ γραφέντι κατὰ Ματθαῖον εὐαγγελίῳ, τὸ καὶ ἐς ὕστερον εὑρεθέντι μετὰ τοῦ ἀποστολικοῦ σώματος. Ὅθεν καὶ προνόμιον ἔλαβον οἱ πιστοί, μὴ ὑποκεῖσθαι τινὶ τῶν ἄλλων Ἐπισκόπων ταύτην τὴν νῆσον, ἀλλ' ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου χειροτονεῖσθαι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Ἀποστόλου Βαρθολομαίου.

Στίχοι.

Καὶ Σὸς μαθητής, Χριστέ, Βαρθολομαῖος,
μιμούμενός Σε, σταυρικὸν φέρει πάθος.
Ἑνδεκάτῃ σταύρωσαν ἐρίφρονα Βαρθολομαῖον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τελεῖται τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἄδειν.

Στίχοι.

Ἦσας Γαβριὴλ πρὶν τὸ Χαῖρε τῇ Κόρῃ,
ᾄδεις δὲ καὶ νῦν· ἄξιόν σε ὑμνέειν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἁγίως τὸν Ἅγιον, τὸν ἐν ἁγίοις ἐπαναπαυόμενον, Βαρνάβα, ἐκήρυξας, Υἱὸν τὸν συνάναρχον Πατρὶ καὶ σύνθρονον, ἄνθρωπον γενόμενον ἡμῖν, τὴν σωτηρίαν πραγματευόμενον.

Βολίδες ἀστράπτουσαι τὸ θεῖον φέγγος, Βαρνάβας ὁ πάντιμος, καὶ Παῦλος ὁ θεόληπτος, ὡς φῶς ἐξεπορεύθησαν, καταλαμπρύνοντες λόγῳ τῷ τῆς χάριτος, ἐθνῶν τὴν παγκληρίαν ὡς Χριστοκήρυκες.

Ἀγάλλεται σήμερον ἡ θρεψαμένη, Βαρνάβα κυπρίζοντα τὸν λόγον τὸν τῆς χάριτος, Χριστῷ σε βλαστήσασα Θεομακάριστε· ἥν περ ἀμοιβόμενος, πάσης περιστάσεως* ῥῦσαι πρεσβείαις σου.

Θεοτοκίον.

Ἰθύνουσα, Πάναγνε, τὸν ἐμὸν βίον, πρὸς τὸν σὸν πανεύδιον λιμένα καθοδήγησον, Θεὸν ἡ κυήσασα, τῶν ἀγαθῶν τὴν πηγήν, τὸν πᾶσι παρέχοντα πιστοῖς τὴν ἀφθαρσίαν τῆς ἀγαθότητος.

Ἕτερος. Ὁ αὐτός.

Βοᾷ χαριστήρια Κυπρίων νῆσος, ἀπαύστως τιμῶσά σε, Βαρνάβα θεοτίμητε, ἀνθ' ὧν ἀπολαύει σου πολυειδῶν δωρεῶν, μέλπουσα πρὸς Κύριον· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ὡς κλῖμα θεόφυτον θείας ἀμπέλου, Βαρνάβα Ἀπόστολε, τὸν οἶνον τὸν σωτήριον τὰ πέρατα τῆς οἰκουμένης σαφῶς ἔβλυσας, καὶ πάντων τὰς ψυχὰς ἀγαλλιάσεως θείας ἔπλησας.

Τὸ θεῖόν σου τέμενος, ἐν ᾧ τὸ σκῆνος τὸ σὸν τεθησαύρισται, πηγὴ ὑπάρχει βρύουσα τοῖς πᾶσιν ἰάματα, Βαρνάβα ἔνδοξε, ἔνθα οἱ προστρέχοντες, πλουσίως ἀπαντλοῦσι παντοίαν ἴασιν.

Θεοτοκίον.

Τὸ πῦρ τῆς θεότητος οὐ κατεφλέχθης, ἀρρήτως κυήσασα, Παρθένε ἀπειρόγαμε· διὸ καθικέτευε σὺν Ἀποστόλοις, Ἁγνή, διαιωνιζούσης με φλογός, ἐλευθερῶσαι τὸν σὲ δοξάζοντα.

* Ἐν τοῖς χειρογράφοις ἀντὶ πάσης περιστάσεως ἀναγιν. τῆς νῦν αἰχμαλωσίας.

Καταβασία.

»Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα·
» ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλ-
» λον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Θάλασσαν ἐθνῶν, ταράττειν σου τοὺς ἵππους, ὡς εὐεργέτης ἐπεβίβασας Βαρνάβαν τὸν ἔνδοξον καὶ Παῦλον τὸν θεσπέσιον, τὴν πλάνην τὴν πολύθεον, δόγμασι Ζωοδότα, τῆς εὐσεβείας ἐλαύνοντας.

Ἔθου ὡς Θεός, Παράκλητε τὸ Πνεῦμα, τὸ παντουργὸν ἐν Ἐκκλησίᾳ Σου, φωστῆρας ἐκλάμποντας, τὴν Σὴν δύναμιν κηρύττοντας, Υἱοῦ τε καὶ Γεννήτορος, κράζοντας· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ἤστραψας φαιδρῶς ὡς ἥλιος ἐν κόσμῳ, τῷ νοητῷ προσομιλήσας σαφῶς Ἡλίῳ, θεόληπτε ποιωθεὶς γὰρ τῇ λαμπρότητι, φῶς δεύτερον γεγένησαι, ἅπασιν ἀναφαίνων τοῦ μυστηρίου τὴν δύναμιν.

Γῆν ταῖς διδαχαῖς τὴν σύμπασαν φωτίσας, τῆς ὑπὲρ νοῦν μακαριότητος ἀξίως τετύχηκας, οὐρανίοις ἐν σκηνώμασι, Βαρνάβα πανσεβάσμιε, στέφανον εὐπρεπείας παρὰ Κυρίου δεξάμενος.

Θεοτοκίον.

Ἵνα τὴν ἀρὰν τὴν πρώτην ἀφανίσῃς, καὶ τοῦ θανάτου τὸ κατάκριμα, τῆς πάλαι προμήτορος, ἐκ Παρθένου Θεομήτορος, Λόγε Θεοῦ, γεγέννησαι, πᾶσι δεδωρημένος ἀθανασίαν ἀνώλεθρον.

Ἕτερος. Ὁ αὐτός.

Ἄκων ἱερεὺς εἰδώλων προφητεύων, βόας καὶ στέμματα προσέφερε, Βαρνάβα ἀπόστολε, Θεῷ οἷά σοι θυσόμενος· Θεὸς γὰρ κατὰ μέθεξιν γέγονας σὺ καὶ χάριν. Ὅθεν σε πίστει γεραίρομεν.

Θεόν σε λαὸς ἐκάλει Λυκαώνων, ἐξηφανίσθαι προσημαίνοντες, φωτὶ σοῦ κηρύγματος, ἅπαν σκότος δεισιδαίμονος δαιμόνων πλάνης, ἔνδοξε, μέλπειν δὲ τὸν Δεσπότην, Θεὸν τῶν ὅλων πειθόμενος.

Λίθων ταῖς πυκναῖς βολαῖς ἐνεκαρτέρεις, τοῦ σοῦ Δεσπότου ἐκμιμούμενος, Βαρνάβα ἀπόστολε, τὴν ἀνείκαστον συμπάθειαν, ὡς ἀγαθός, καὶ γέγονας συγκοινωνὸς τοῦ πάθους· ὅθεν πιστῶς εὐφημοῦμέν σε.

Θεοτοκίον.

Κάμινός ποτε μὴ φλέξασα τοὺς Παῖδας, τὴν σὴν λοχείαν προεικόνιζε, Παρθένε Πανάχραντε· διὰ τοῦτο ἱκετεύω σε, σὺν Ἀποστόλοις πρέσβευε ἅπασι καὶ Προφήταις, πυρὸς γεέννης ῥυσθῆναί με.

Καταβασία.

» Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο,
» τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην
» ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερ-
» υψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Οἱ φῶς χρηματίσαντες δι' ἀρετῆς Ἀπόστολοι, καὶ Φωτὶ τῷ μεγάλῳ νῦν παριστάμενοι, κόσμῳ τὴν εἰρήνην βραβεύειν, καὶ τὰς ὑμῶν σῴζειν ἐκκλησίας, ἅς περ συνεστήσασθε, τὸν Δεσπότην ἱκετεύσατε.

Ῥητόρων δεινότητα, σοφίας σου πυρσεύμασι, θεοφάντωρ Βαρνάβα, σαφῶς κατέσβεσας, τῶν ἀπαυγασμάτων τῶν τῇ δε, ὡς τὴν πηγὴν ἔνδον κεκτημένος· διὸ τὴν πανίερον ἑορτήν σου μεγαλύνομεν.

Ἐν πίστει τὴν μνήμην σου τελοῦντες νῦν ἀπόστολε, πρεσβευτὴν τῷ Δεσπότῃ σὲ προβαλλόμεθα, λύσιν ἐκζητοῦντες πταισμάτων, διὰ τῆς σῆς λαβεῖν μεσιτείας, Βαρνάβα πανεύφημε, θεοκήρυξ ἱερώτατε.

Θεοτοκίον.

Ἀπόστολοι, Πάναγνε, τὸν σὸν Υἱὸν ἐκήρυξαν, εἰς τὸν σύμπαντα κόσμον, Θεὸν καὶ ἄνθρωπον· ὅθεν σὺν αὐτοῖς ἐκδυσώπει, τῇ φοβερᾷ ἡμέρᾳ τῆς δίκης, ῥυσθῆναι κολάσεως, τοὺς πιστῶς σε μεγαλύνοντας.

Ἕτερος. Ὁ αὐτός.

Τὸ μέγα Μυστήριον τῆς τοῦ Χριστοῦ σαρκώσεως, σοῦ ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐτράνωσεν· ὅθεν ἐν Ἀσίᾳ, Εὐρώπῃ καὶ ἐν

παντὶ τόπῳ τὸ σὸν κλέος, Βαρνάβα, κηρύττεται καὶ κοσμεῖ τὴν Ἐκκλησίαν Χριστοῦ.

Τὴν θείαν σου λάρνακα πιστῶς περιπτυσσόμενοι, τῶν Κυπρίων ὁ δῆμος, σὲ ἱκετεύομεν· σὺ ἡμῶν ὑπάρχεις τὸ κλέος, σὺ ἡ χαρά, καύχημα καὶ δόξα, διὰ σοῦ νῦν εὕροιμεν, τῶν πταισμάτων τὴν συγχώρησιν.

Τὸ Πνεῦμα τὸ Ἅγιον, σαφῶς σε μεμαρτύρηκεν, ἀγαθὸν ἄνδρα, πλήρη πίστεως, Πνεύματος, θεῖόν τε Ἀπόστολον. Ὅθεν γλῶσσα βροτῶν πῶς σε ἐπαινέσει, Υἱὲ παρακλήσεως; Ἀλλὰ δέξαι τὸ ἐφύμνιον.

Θεοτοκίον.

Βασίλισσα πέφυκας, τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα, τὸν διαλύσαντα Ἅδου τὰ βασίλεια, Κόρη. Ὃν ἐκτενῶς δυσώπει, μετὰ τῶν Ἀποστόλων, Αὐτοῦ τῆς Βασιλείας ἀξιῶσαι τοὺς ὑμνοῦντάς σε.

Καταβασία.

» Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανη-
» γυριζέτω δὲ ἀΰλων Νόων φύσις, γεραίρουσα τὴν ἱερὰν πανή-
» γυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε
» ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάρια.

Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Α Ὡς μύστης καὶ Ἀπόστολος, καὶ ὑπηρέτης ἄριστος Χριστοῦ τοῦ μόνου Δεσπότου, Βαρνάβα θεῖε αὐτόπτα. Τοῦτον δοῦναι, ἱκέτευε, χριστιανοῖς τὰ τρόπαια καὶ ἱλασμόν, πανεύφημε, ἁμαρτιῶν τοῖς τελοῦσι τὴν παναγίαν σου μνήμην.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Θεὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον ἐπισκιάσαν σοι, Κόρη, ἀνέδειξε Θεοτόκον.

### Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

[Ἐν Ρ ὡς στιχηρὸν τοῦ ἑσπερινοῦ]

Τρόπων σου χρηστότητι, καὶ τῶν ἠθῶν τῇ λαμπρότητι, καὶ τῇ ἄνωθεν χάριτι, ὡς ὄρθρος ἀνέτειλας ταῖς αὐγαῖς Ἡλίου τῆς δικαιοσύνης, καταλαμπόμενος σαφῶς, καὶ διαυγείᾳ καταυγαζόμενος, τὴν Ρώμην τὴν ἀοίδιμον καταλαβὼν πρῶτος, ἔνδοξε, ἐν αὐτῇ τὸν φιλάνθρωπον Ἰησοῦν ἀνεκήρυξας.

[Αὐτόθι ὁμοίως]

Ἔθνεσί σε κήρυκα χειροτονεῖ καὶ διδάσκαλον, ἀφορίσαν ὡς εὔσπλαχνον, τὸ Πνεῦμα τὸ Ἅγιον, τῇ Αὐτοῦ δυνάμει, καὶ λαμπρᾷ σοφίᾳ, καὶ τῶν θαυμάτων τὸ καινόν, ταῖς ἐνεργείαις ἀσφαλισάμενον. Ἐντεῦθεν ὡς ἀήττητος, τὴν οἰκουμένην διέδραμες, τὸ φαιδρὸν Εὐαγγέλιον ἀναγγέλλων ἀοίδιμε.

Ἕτερα. Ἦχος ὁ αὐτός. Ὡς γενναῖον ἐν μάρτυσιν.

ΜΑ Καθαρὸν ἐνδιαίτημα τῆς Τριάδος γεγένησαι, ἀρετῶν λαμπρότητι φαιδρυνόμενος· καὶ ἐν καρδίᾳ δεχόμενος, Βαρνάβα, τὴν ἔλλαμψιν, παρ' αὐτῆς καὶ φωτισμὸν τοῦ Ἡλίου φαιδρότερον ἐν τοῖς πέρασι, τηλαυγῶς ἐπιπέμπεις καὶ φωτίζεις, τοὺς ἐν σκότει καθημένους τῆς ἀγνωσίας, θεόληπτε.

Α Ὥσπερ προῖκα πολύτιμον, ὡς πηγὴν ἁγιάσματος, τὸν τῷ σῷ ὀνόματι δοξαζόμενον ναόν, Βαρνάβα πανεύφημε, τῇ Κύπρῳ σου λέλοιπας, ἔνθα πάντες οἱ πιστοί, εὐσεβῶς ἀθροιζόμενοι, σοῦ δεόμεθα, ἀδιάσειστον τοῦτον τηρηθῆναι, καὶ πρεσβείαις σου ῥυσθῆναι τοὺς σὲ τιμῶντας κολάσεως.

Δόξα. Ἦχος πλ. α'.

[Ἐν Α ὡς ἰδιόμελον τῆς λιτῆς]

Ἡ πάνσεπτος καὶ θεοτίμητος ἑορτὴ τοῦ πανευφήμου Βαρνάβα, ἐπεδήμησε τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, προξενοῦσα ἡμῖν εὐφροσύνην σωτήριον. Μυστικῶς οὖν κροτήσωμεν, καὶ τούτῳ προσείπωμεν λέγοντες· Χαίροις φωστὴρ τῶν ἐν σκότει, ἀκτὶς ὑπάρχουσα φαεινή.

Χαίροις Ἀπόστολε ἔνδοξε, τῶν θείων δογμάτων θεμέλιε ἀρραγέστατε. Χαῖρε κήρυξ τῆς χάριτος, τῶν Κυπρίων τὸ μέγα καύχημα, καὶ τῆς οἰκουμένης φαιδρὸν ἀγαλλίαμα.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη.

Ἀπόλυσις.



# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ᾠδὴ γ' καὶ ϛ'.

Ὁ Ἀπόστολος.

Προκείμενον. Ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Κεφ. δ', 9—16)

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγεννήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγεννήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Τὸ Εὐαγγέλιον.

(Ζήτει τῇ 18ῃ Ὀκτωβρίου)

Ἐκ τοῦ κατὰ Λουκᾶν

(Κεφ. ι', 16—21)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ Ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν

Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ Πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

### Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ,
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

### Μεγαλυνάριον.

Ὑμνήσωμεν πάντες χαρμονικῶς, τὸν τῆς Ἐκκλησίας πρωτεργάτην καὶ ἀθλητήν, Βαρνάβαν τὸν θεῖον, ἀπόστολον τὸν μέγαν, χριστιανῶν τὸ κλέος, ᾄσμασι στέφοντες.